οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς· τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.

ΧΟΡΟΣ.

ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν, ὅτ'
Ἰδαίαν ἐς νάπαν
ἦλθ' ὁ Μαίας τε καὶ Διὸς τόκος,
τρίπωλον ἅρμα δαιμόνων
ἄγων τὸ καλλιζυγές,
ἔριδι στυγερᾷ κεκορυθμένον εὐμορφίας
σταθμοὺς ἔπι βούτα
βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν
ἔρημόν θ' ἑστιοῦχον αὐλάν.
ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἤλυθον
οὔρειᾶν πιδάκων
νίψαν αἰγλᾶντα σώματ' ἐν ῥοαῖς·
ἔβαν δὲ Πριαμίδαν ὑπερ-
βολαῖς λόγων δυςφρόνων
παραβαλλόμεναι. Κύπρις εἷλε λόγοισι δολίοις,
τερπνοῖς μὲν ἀκοῦσαι,
πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
ταλαίνᾳ περγάμοις τε Τροίας.
εἴθε δ' ὑπὲρ κεφαλὰν ἔβαλεν κακὸν
ἅτις τέκεν ποτὲ Πάριν,
πρὶν Ἰδαῖον κατοικίσαι λέπας,
ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
βόασε Κάσανδρα κτανεῖν,
μεγάλαν Πριάμου πόλεως λώβαν.
τίν' οὐκ ἐπῆλθε, ποῖον οὐκ ἐλίσσετο
δαμογερόντων βρέφος φονεύειν;
οὔτ' ἂν ἐπ' Ἰλιάσι ζυγὸν ἤλυθε
δούλειον, οὔτε σύ, γύναι,
τυράννων ἔσχες ἂν δόμων ἕδρας·
παρέλυσε δ' ἂν Ἑλλάδος ἀλγεινοὺς
πόνους, οὓς ἀμφὶ Τροίαν
δεκέτεις ἀλάλητο νέοι λόγχαις·
λέχη τ' ἔρημ' ἂν οὔποτ' ἐξελείπετο,
καὶ τεκέων ὀρφανοὶ γέροντες.